## LOS TRABAJOS DE HERACLES:
## 1º EL LEÓN DE NEMEA.

### NOTAS

Ἡρακλῆς, -εόυς ὁ *Heracles*

Τίρυνς, -υνθος ἡ *Tirinto*

Εὐρυσθεύς, -έως ὁ *Euristeo*

Νεμέα, -ας ἡ *Nemea*

Τυφῶν, -ῶνος ὁ *Tifón*

Μυκήνα, -ας ἡ *Micenas*

Τοῦτο ἀκούσας ὁ **Ἡρακλῆς** εἰς **Τίρυνθα** ἦλθε, καὶ τὸ προσταττόμενον ὑπὸ **Εὐρυσθέως** ἐτέλει. πρῶτον μὲν οὖν ἐπέταξεν αὐτῷ τοῦ **Νεμέου** λέοντος τὴν δορὰν κομίζειν· τοῦτο δὲ ζῷον ἦν ἄτρωτον, ἐκ **Τυφῶνος** γεγεννημένον. εἰς δὲ τὴν Νεμέαν ἀφικόμενος καὶ τὸν λέοντα μαστεύσας ἐτόξευσε τὸ πρῶτον· ὡς δὲ ἔμαθεν ἄτρωτον ὄντα, ἀνατεινάμενος τὸ ῥόπαλον ἐδίωκε. συμφυγόντος δὲ εἰς τὸ ἀμφίστομον σπήλαιον αὐτοῦ τὴν ἑτέραν ἐνῳκοδόμησεν εἴσοδον, διὰ δὲ τῆς ἑτέρας ἐπεισῆλθε τῷ θηρίῳ, καὶ περιθεὶς τὴν χεῖρα τῷ τραχήλῳ κατέσχεν ἄγχων ἕως ἔπνιξε, καὶ θέμενος ἐπὶ τῶν ὤμων ἦγεν εἰς **Μυκήνας** τὸν λέοντα. Εὐρυσθεὺς δὲ καταπλαγεὶς αὐτοῦ τὴν ἀνδρείαν ἀπεῖπε τὸ λοιπὸν αὐτῷ εἰς τὴν πόλιν εἰσιέναι, δεικνύειν δὲ πρὸ τῶν πυλῶν ἐκέλευε τοὺς ἄθλους.